ἁπτόμεναι ἀλλήλων αἱ ΕΘ, ΘΗ παρὰ δύο εὐθείας ἁπτομέ-
νας ἀλλήλων τὰς ΚΔ, ΔΛ εἰσὶν οὐκ ἐν τῷ αὐτῷ ἐπιπέ-
δῳ οὖσαι. ἴσας γωνίας περιέξουσιν· ἴση ἄρα ἐστὶν
ἡ ὑπὸ ΕΘΗ γωνία τῇ ὑπὸ ΚΔΛ γωνίᾳ. καὶ ἐπεὶ
δύο εὐθεῖαι αἱ ΕΘ, ΘΗ δυσὶ ταῖς ΚΔ, ΔΛ ἴσαι εἰσὶν ἑκατέρα
ἑκατέρᾳ. καὶ γωνία ἡ ὑπὸ ΕΘΗ γωνίᾳ τῇ ὑπὸ ΚΔ-
Λ ἐστὶν ἴση· βάσις ἄρα ἡ ὑπὸ ΕΗ βάσει τῇ ΚΛ ἐστὶν ἴ-
ση· ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΕΘΗ τρίγωνον τῷ ΚΔΛ
τριγώνῳ· διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΕΗ τρίγωνον τῷ
ΘΚΛ τριγώνῳ ἴσον τε καὶ ὅμοιόν ἐστιν· ἡ ἄρα πυραμὶς
ἧς βάσις μέν ἐστι τὸ ΑΕΗ τρίγωνον. κορυφὴ δὲ τὸ Θ
σημεῖον ἴση καὶ ὁμοία ἐστὶ πυραμίδι. ἧς βάσις μὲν
ἐστὶ τὸ ΘΚΛ τρίγωνον. κορυφὴ δὲ τὸ Δ σημεῖον· καὶ
ἐπεὶ τριγώνου τοῦ ΑΔΒ παρὰ μίαν τῶν πλευρῶν
τὴν ΑΒ ἦκται ἡ ΘΚ. ἰσογώνιόν ἐστι τὸ ΑΔΒ τρίγω-
νον τῷ ΔΚΘ τριγώνῳ καὶ τὰς πλευρὰς ἀνάλογον
ἔχουσιν· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΔΒ τρίγωνον τῷ ΔΘΚ
τριγώνῳ· διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΔΒΓ τρίγωνον
τῷ ΔΚΛ τριγώνῳ ὅμοιόν ἐστι· τὸ δὲ ΑΔΓ τῷ ΔΛΘ
τριγώνῳ· καὶ ἐπεὶ δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ
ΒΑ, ΑΓ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΚΘ,
ΘΛ εἰσὶν οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἴσας γωνίας
περιέξουσιν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑ-
πὸ ΚΘΛ. καί ἐστιν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ. οὕτως ἡ ΚΘ
πρὸς τὴν ΘΛ· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ
ΘΚΛ τριγώνῳ· καὶ πυραμὶς ἄρα ἧς βάσις μέν ἐστι

Ἐπεὶ ἐν τῷ δευτέρῳ θεωρήματι τοῦ ϛ΄ βιβλίου λέγει· ἐὰν τριγώνου παρὰ μίαν τῶν πλευρῶν ἀχθῇ τις εὐθεῖα, ἀνάλογον τεμεῖ τὰς τοῦ τριγώνου πλευράς. ἐν δὲ τῷ ε΄ θεωρήματι τοῦ αὐτοῦ βιβλίου· ἐὰν δύο τριγώνων αἱ πλευραὶ ἀνάλογον ἔχῃ, ἰσογώνια ἔσται τὰ τρίγωνα.

διὰ τὸ ι΄ θεώρημα τοῦ ια΄.

διὰ τὸ ϛ΄ τοῦ ϛ΄

τὸ ΑΒΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον ὁμοία ἐστὶν
πυραμίδι. ἧς βάσις μέν ἐστι τὸ ΘΚΛ τρίγωνον. κορυ-
φὴ δὲ τὸ Δ σημεῖον. ἀλλὰ πυραμὶς ἧς βάσις μέν ἐστιν
./. τὸ ΑΕΗ τρίγωνον. κορυφὴ δὲ τὸ Θ σημεῖον· ὥστε καὶ
πυραμὶς ἧς βάσις μὲν τὸ ΑΒΓ τρίγωνον κορυφὴ
δὲ τὸ Δ σημεῖον ὁμοία ἐστὶ πυραμίδι ἧς βάσις μὲν
τὸ ΑΕΗ τρίγωνον. κορυφὴ δὲ τὸ Θ σημεῖον· ἑκα-
τέρα ἄρα τῶν ΑΕΗΘ, ΘΚΛΔ πυραμίδων ὁμοία
ἐστὶ τῇ ὅλῃ τῇ ΑΒΓΔ πυραμίδι· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ
ΒΖ τῇ ΖΓ. διπλάσιόν ἐστι τὸ ΕΒΖΗ παραλληλόγραμ-
μον τοῦ ΗΖΓ τριγώνου· καὶ ἐπεὶ ἐὰν ᾖ δύο πρίσματα
ἰσοϋψῆ καὶ τὸ μὲν ἔχῃ βάσιν παραλληλόγραμμον. τὸ
δὲ τρίγωνον. διπλάσιον δὲ ᾖ τὸ παραλληλόγραμ-
μον τοῦ τριγώνου. ἴσα ἐστὶ τὰ πρίσματα· ἴσον ἄ-
ρα ἐστὶ τὸ πρίσμα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τρι-
γώνων τῶν ΒΚΖ, ΕΘΗ. τριῶν δὲ παραλληλογράμ-
μων τῶν ./. τῷ πρίσματι τῷ περιεχομένῳ
ὑπὸ δύο μὲν τριγώνων τῶν ΗΖΓ, ΘΚΛ. τριῶν δὲ
παραλληλογράμμων τῶν ΚΖΓΛ, ΛΓΗΘ, ΘΚΖΗ. καὶ
φανερὸν ὅτι ἑκάτερον τῶν πρισμάτων οὗ τε βάσις
τὸ ΕΒΖΗ παραλληλόγραμμον. ἀπεναντίον δὲ ἡ ΘΚ
εὐθεῖα καὶ οὗ βάσις τὸ ΗΖΓ τρίγωνον. ἀπεναντίον δὲ
τὸ ΘΚΛ τρίγωνον μεῖζόν ἐστιν ἑκατέρας τῶν πυρα-
μίδων. ὧν βάσεις μὲν τὰ ΑΕΗ, ΘΚΛ τρίγωνα. κο-
ρυφαὶ δὲ τὰ Θ, Δ σημεῖα· ἐπειδήπερ ἐὰν ἐπιζεύξω-
μεν τὰς ΕΖ, ΕΚ εὐθείας. τὸ μὲν πρίσμα οὗ βάσις τὸ ΕΒΖΗ

τὸ ΘΚΛ ∇ κορυφὴ δὲ
τὸ Δ ση. ὁμοία ἐ-
[illegible] πυραμίδι
ἧς βάσις μὲν τὸ ./.

ἐὰν ᾖ τριγώνου παραλληλόγραμμον
βάσιν ἴσην ἔχῃ ἐν ταῖς αὐταῖς
παραλλήλοις, διπλάσιον τὸ παραλ-
ληλόγραμμον τοῦ τριγώνου.

διὰ τὸ μα΄ τοῦ α΄

διὰ τὸ τελευταῖον τοῦ ια΄

./. ΕΒ ΖΗ ΕΒ
ΚΘ ΘΚ ΖΗ

BIBLIOTHECA BODLEIANA